ὄνειδος ἀνθρώπου καὶ ἐξουδένημα λαοῦ.
8 πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με,
ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν
9 Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν·
σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.
10 ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός,
ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου·
11 ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας,
ἐκ κοιλίας μητρός μου θεός μου εἶ σύ.
12 μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ, ὅτι θλῖψις ἐγγύς,
ὅτι οὐκ ἔστιν ὁ βοηθῶν.
13 περιεκύκλωσάν με μόσχοι πολλοί,
ταῦροι πίονες περιέσχον με·
14 ἤνοιξαν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν
ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος.
15 ὡσεὶ ὕδωρ ἐξεχύθην,
καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου,
ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς
κοιλίας μου·
16 ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου,
καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου,
καὶ εἰς χοῦν θανάτου κατήγαγές με.
17 ὅτι ἐκύκλωσάν με κύνες πολλοί,
συναγωγὴ πονηρευομένων περιέσχον με,
ὤρυξαν χεῖράς μου καὶ πόδας.
18 ἐξηρίθμησα πάντα τὰ ὀστᾶ μου,
αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.
19 διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς
καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.
20 σὺ δέ, κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου,
εἰς τὴν ἀντίλημψίν μου πρόσχες.
21 ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου
καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου·
22 σῶσόν με ἐκ στόματος λέοντος
καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.
23 διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου,
ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε
24 Οἱ φοβούμενοι κύριον, αἰνέσατε αὐτόν,
ἅπαν τὸ σπέρμα Ιακωβ, δοξάσατε αὐτόν,

7² ανθρωπων S || 8²] pr. και S || 15² οστα] διαβηματα S†: ex 72 2 || 16¹ ως] ωσει B† || 17³] + μου A || 18¹ εξηριθμησα Gra.] -σαν mss. || 20¹ μου] σου S